eul_wid: hps-az

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Arbitration

*Διαιτησία*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

127 [ΣΜΙΚΡΙΝΗΣ]
127.1 ἄνθρωπος οἶνον. αὐτὸ τοῦτ' ἐκπλήττομαι ἔγωγ'. ὑπὲρ 〈δὲ〉 τοῦ μεθύσκεσθ' οὐ λέγω.
127.2 ἀπιστίαι γάρ ἐσθ' ὅμοιον τοῦτό γε,
130.1 εἰ καὶ βιάζεται κοτύλην τις τοὐβόλου
130.2 ὠνούμενος πίνειν ἑαυτόν.
131.1 (ΧΑΙΡΕΣΤΡΑΤΟΣ) τοῦτ' ἐγ[ὼ
131.2 προσέμενον· οὗτος ἐμπεσὼν διασκ[εδᾶι
131.3 τὸν ἔρωτα.
133.1 (Σμ) τί δέ μοι τοῦτο; πάλιν οἰμω[ζέτω.
133.2 προῖκα δὲ λαβὼν τάλαντα τέτταρ' ἀργύρου
135.1 οὐ τῆς γυναικὸς νενόμιχ' αὑτὸν οἰκέτην·
135.2 ἀπόκοιτός ἐστι· πορνοβοσκῶι δώδεκα
135.3 τῆς ἡμέρας δραχμὰς δίδωσι.
137.1 (Χαι) δώδεκα·
137.2 πέπυσ]τ' ἀκριβῶς οὑτοσὶ τὰ πράγματα.
137.3 (Σμ) μηνὸς διατροφὴν ἀνδρὶ καὶ πρὸς ἡμερῶν
140 ἕξ.
140.1 (Χαι) εὖ λελόγισται. δύ' ὀβόλους τῆς ἡμέρας,
140.2 ἱκανό]ν τι τῶι πεινῶντι 〈πρὸσ〉 πτισάνην ποτέ.
140.3 (?ΑΒΡΟΤΟΝΟΝ)
142.1 Χαρίσι]ός σε προσμένει, Χαιρέ[στρατε.
142.2 τίς ὅδ' ἐσ]τι δ[ή], γλυκύτατε;
143.1 (Χαι) ὁ τῆς [νύμφης πα]τήρ.
143.2 (?Ἀβρ) ἀλλὰ τί παθ]ὼν ὡς ἄθλιός τισ[
145.1 [ ὁ] τρισκακοδ[αίμων ψάλ]τριαν

145.2 [ ]σαν γυναῖκα
146 (quot desint uersus ignotum, sed non amplius xxxv ut uidetur)
158.1 (?Ἁβρ) οὕτως ἀγα]θόν τι σοι γένοιτο, μὴ λέγε
158.2 (?) [ ]
160.1 (?Σμ) οὐκ ἐς κόρακας; οἰμώξει μακρά.
160.2 εἴσειμι ν]ῦν εἴσω, σαφῶς τε πυθόμενος
160.3 ὅπως ἔχει] τὰ τῆς θυγατρός, βουλεύσομαι
160.4 ὅντινα τ]ρόπον πρὸς τοῦτον ἤδη προσβαλῶ.
160.5 (?Ἁβρ) φράσωμ]εν αὐτῶι τοῦτον ἥκοντ’ ἐνθάδε;
165.1 (Χαι) φράσω]μεν. οἷον κίναδος· οἰκίαν ποεῖ
165.2 ἀνάστα]τον.
166.1 (?Ἁβρ) πολλὰς ἐβουλόμην ἅμα.
166.2 (Χαι) πολλάς;]
167 (?Ἁβρ) μίαν μὲν τὴν ἐφεξῆς.
167.1 (Χαι) τὴν ἐμήν;
167.2 (?Ἁβρ) τὴν σ]ήν γ’. ἴωμεν δεῦρο πρὸς Χαρίσιον.
167.3 (Χαι) ἴωμεν· ὡς καὶ μειρακυλλίων ὄχλος
170.1 εἰς τὸν τόπον τις ἔρχεθ’ ὑποβεβρεγμένων
170.2 οἷς] μὴ ’νοχλεῖν εὔκαιρον εἶναί μοι δοκεῖ.
171.1 ΧΟΡΟΥ
171.2 (?ΟΝΗΣΙΜΟΣ)
172.1 ἐπι[σφαλῆ μὲν] πάντα τἀνθ[ρώπων
172.2 οιομ[
172.3 καὶ τοπ[
175.1 ὁ δεσπό[της
175.2 ὁ γέρω[ν
175.3 οὐδὲ λο[
177.1 (desunt uersus non amplius xl ut uidetur)
177.2 (ΣΥΡΙΣΚΟΣ)
218 φεύγεις τὸ δίκαιον.
218.1 (ΔΑΟΣ) συκοφαντεῖς δυστυχής.
218.2 οὐ δεῖ ς’ ἔχειν τὰ μὴ σά.
219 (Συ) ἐπιτρεπτέον τινί
220 ἐστι περὶ τούτων.
220.1 (Δα) βούλομαι· κρινώμεθα.
220.2 (Συ) τίς οὖν;
221.1 (Δα) ἐμοὶ μὲν πᾶς ἱκανός. δίκαια δὲ
221.2 πάσχω· τί γάρ σοι μετεδίδουν;
222.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Συ) τοῦτον λαβεῖν
βούλει κριτήν;
(Δα) ἀγαθῆι τύχηι.
(Συ) πρὸς τῶν θεῶν,
βέλτιστε, μικρὸν ἂν σχολάσαις ἡμῖν χρόνον;
(Σμ) ὑμῖν; περὶ τίνος;
(Συ) ἀντιλέγομεν πρᾶγμά τι.
(Σμ) τί οὖν ἐμοὶ μέλει;
(Συ) κριτὴν τούτου τινὰ
ζητοῦμεν ἴσον· εἰ δή σε μηδὲν κωλύει,
διάλυσον ἡμᾶς.
(Σμ) ὦ κάκιστ᾽ ἀπολούμενοι,
δίκας λέγοντες περιπατεῖτε, διφθέρας
ἔχοντες;
(Συ) ἀλλ᾽ ὅμως. τὸ πρᾶγμ᾽ ἐστὶν βραχύ,
καὶ ῥάιδιον μαθεῖν. πάτερ, δὸς τὴν χάριν·
μὴ καταφρονήσηις, πρὸς θεῶν. ἐν παντὶ δεῖ καιρῶι τὸ δίκαιον ἐπικρατεῖν ἁπανταχοῦ,
καὶ τὸν παρατυγχάνοντα τούτου τοῦ μέρους
ἔχειν πρόνοιαν κοινόν ἐστι τῶι βίωι
πάντων.
Δα μετρίωι γε συμπέπλεγμαι ῥήτορι.
τί γὰρ μετεδίδουν;
(Σμ) ἐμμενεῖτ᾽ οὖν, εἰπέ μοι,
οἷς ἂν δικάσω;
Συ πάντως.
(Σμ) ἀκούσομαι· τί γὰρ
τό με κωλύον; σὺ πρότερος ὁ σιωπῶν λέγε.
Δα μικρόν γ᾽ ἄνωθεν, οὐ τὰ πρὸς τοῦτον μόνον
πραχθένθ᾽, ἵν᾽ ἦι σοι καὶ σαφῆ τὰ πράγματα.
ἐν τῶι δασεῖ τῶι πλησίον τῶν χωρίων
τούτων ἐποίμαινον τριακοστὴν ἴσως,
βέλτιστε, ταύτην ἡμέραν αὐτὸς μόνος
κἀκκείμενον παιδάριον εὗρον νήπιον
ἔχον δέραια καὶ τοιουτονί τινα
κόσμον.
(Συ) περὶ τούτων ἐστίν.
Δα οὐκ ἐᾶι λέγειν.
(Σμ) ἐὰν λαλῆις μεταξύ, τῆι βακτηρίαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθίξομαί σου.
(Συ) καὶ δικαίως.
(Σμ) λέγε.
(Δα) λέγω. ἀνειλόμην, ἀπῆλθον οἴκαδ’ αὔτ’ ἔχων,
τρέφειν ἔμελλον. ταῦτ’ ἔδοξέ μοι τότε·
ἐν νυκτὶ βουλὴν δ’, ὅπερ ἅπασι γίνεται,
διδοὺς ἐμαυτῶι διελογιζόμην· ἐμοὶ
τί παιδοτροφίας καὶ κακῶν; πόθεν δ’ ἐγὼ
τοσαῦτ’ ἀναλώσω; τί φροντίδων ἐμοί;
τοιουτοσί τις ἦν. ἐποίμαινον πάλιν ἕωθεν. ἦλθεν οὗτος—ἐστὶ δ’ ἀνθρακεύς—
εἰς τὸν τόπον τὸν αὐτὸν ἐκπρίσων ἐκεῖ
στελέχη· πρότερον δέ μοι συνήθης ἐγεγόνει.
λαλοῦμεν ἀλλήλοις. σκυθρωπὸν ὄντα με
ἰδών, “τί σύννους” φησὶ “Δᾶος;” “τί γάρ;” ἐγώ,
“περίεργός εἰμι,” καὶ τὸ πρᾶγμ’ αὐτῶι λέγω,
ὡς εὗρον, ὡς ἀνειλόμην. ὁ δὲ τότε μὲν
εὐθὺς πρὶν εἰπεῖν πάντ’ ἐδεῖθ’, “οὕτω τί σοι
ἀγαθὸν γένοιτο Δᾶε” παρ’ ἕκαστον λέγων,
“ἐμοὶ τὸ παιδίον δός. οὕτως εὐτυχής,
οὕτως ἐλεύθερος. γυναῖκά” φησι “γὰρ
ἔχω, τεκούσηι δ’ ἀπέθανεν τὸ παιδίον”,
ταύτην λέγων, ἣ νῦν ἔχει τὸ παιδίον.
ἐδέου Συρίσκε;
〈Συ〉 〈ἔγωγε.〉
(Δα) ὅλην τὴν ἡμέραν
κατέτριψε. λιπαροῦντι καὶ πείθοντί με
ὑπεσχόμην. ἔδωκ’, ἀπῆλθεν μυρία
εὐχόμενος ἀγαθά· λαμβάνων μου κατεφίλει
τὰς χεῖρας. ἐπόεις ταῦτα;
(Συ) ἐπόουν.
(Δα) ἀπηλλάγη.
μετὰ τῆς γυναικὸς περιτυχών μοι νῦν ἄφνω
τὰ τότε συνεκτεθέντα τούτωι—μικρὰ δὲ
ἦν ταῦτα καὶ λῆρός τις, οὐθέν—ἀξιοῖ
ἀπολαμβάνειν καὶ δεινὰ πάσχειν φής’, ὅτι
οὐκ ἀποδίδωμ’, αὐτὸς δ’ ἔχειν ταῦτ’ ἀξιῶ.
ἐγὼ δέ γ’ αὐτόν φημι δεῖν ἔχειν χάριν
οὗ μετέλαβεν δεόμενος· εἰ μὴ πάντα δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτωι δίδωμ’, οὐκ ἐξετασθῆναί με δεῖ.
εἰ καὶ βαδίζων εὗρεν ἅμ’ ἐμοὶ ταῦτα καὶ ἦν κοινὸς Ἑρμῆς, τὸ μὲν ἂν οὗτος ἔλαβ[εν ἄν,
τὸ δ’ ἐγώ· μόνου δ’ εὑρόντος, οὐ παρὼν τ[ότε
ἅπαντ’ ἔχειν οἴει σε δεῖν, ἐμὲ δ’ οὐδὲ ἕν;
τὸ πέρας· δέδωκά σοι τι τῶν ἐμῶν ἐ[γώ·
εἰ τοῦτ’ ἀρεστόν ἐστί σοι, καὶ νῦν ἔχε·
εἰ δ’ οὐκ ἀρέσκει, μετανοεῖς δ’, ἀπόδος πάλιν
καὶ μηδὲν ἀδίκει μηδ’ ἐλαττοῦ. πάντα δέ,
τὰ μὲν παρ’ ἑκόντος, τὰ δὲ κατισχύσαντά με,
οὐ δεῖ ς’ ἔχειν. εἴρηκα τόν γ’ ἐμὸν λόγον.
(Συ) εἴρηκεν;
(Σμ) οὐκ ἤκουσας; εἴρηκεν.
Συ καλῶς.
οὐκοῦν ἐγὼ μετὰ ταῦτα. μόνος εὗρ’ οὑτοσὶ
τὸ παιδίον, καὶ πάντα ταῦθ’ ἃ νῦν λέγει
ὀρθῶς λέγει, καὶ γέγονεν οὕτως, ὦ πάτερ.
οὐκ ἀντιλέγω. δεόμενος, ἱκετεύων ἐγὼ
ἔλαβον παρ’ αὐτοῦ τοῦτ’· ἀληθῆ γὰρ λέγει.
ποιμήν τις ἐξήγγειλέ μοι, πρὸς ὃν οὑτοσὶ ἐλάλησε, τῶν τούτωι συνέργων, ἅμα τινὰ
κόσμον συνευρεῖν αὐτόν· ἐπὶ τοῦτον, πάτερ,
αὐτὸς πάρεστιν οὑτοσί. —τὸ παιδίον
δός μοι γύναι. —τὰ δέραια καὶ γνωρίσματα
οὗτός ς’ ἀπαιτεῖ Δᾶ’· ἑαυτῶι φησι γὰρ
ταῦτ’ ἐπιτεθῆναι κόσμον, οὐ σοὶ διατροφήν.
κἀγὼ συναπαιτῶ κύριος γεγενημένος
τούτου· σὺ δ’ ἐπόησάς με δούς. νῦν γνωστέον
βέλτιστέ σοι ταῦτ’ ἐστίν, ὡς ἐμοὶ δοκεῖ,
τὰ χρυσί’ ἢ ταῦθ’ ὅ τι ποτ’ ἐστὶ πότερα δεῖ
κατὰ τὴν δόσιν τῆς μητρός, ἥτις ἦν ποτε,
τῶι παιδίωι τηρεῖσθ’, ἕως ἂν ἐκτραφῆι,
ἢ τὸν λελωποδυτηκότ’ αὐτὸν ταῦτ’ ἔχειν, εἰ πρῶτος εὗρε τἀλλότρια. τί οὖν τότε,
ὅτ’ ἐλάμβανον τοῦτ’, οὐκ ἀπήιτουν ταῦτά σε;
οὔπω παρ’ ἐμοὶ τότ’ ἦν ὑπὲρ τούτου λέγειν.
ἥκω δὲ καὶ νῦν οὐκ ἐμαυτοῦ ς’ οὐδὲ ἓν
ἴδιον ἀπαιτῶν. κοινὸς Ἑρμῆς; μηδὲ ἓν
εὕρισχ’, ὅπου πρόσεστι σῶμ’ ἀδικούμενον·
οὐχ εὕρεσις τοῦτ’ ἔστιν ἀλλ’ ἀφαίρεσις.
βλέψον δὲ κἀκεῖ, πάτερ· ἴσως ἔσθ’ οὑτοσὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ παῖς ὑπὲρ ἡμᾶς καὶ τραφεὶς ἐν ἐργάταις
ὑπερόψεται ταῦτ’, εἰς δὲ τὴν αὑτοῦ φύσιν
ἄιξας ἐλεύθερόν τι τολμήσει πονεῖν,
θηρᾶν λέοντας, ὅπλα βαστάζειν, τρέχειν
ἐν ἀγῶσι. τεθέασαι τραγωιδούς, οἶδ’ ὅτι,
καὶ ταῦτα κατέχεις πάντα. Νηλέα τινὰ
Πελίαν τ’ ἐκείνους εὗρε πρεσβύτης ἀνὴρ
αἰπόλος, ἔχων οἵαν ἐγὼ νῦν διφθέραν,
ὡς δ’ ᾔσθετ’ αὐτοὺς ὄντας αὑτοῦ κρείττονας,
λέγει τὸ πρᾶγμ’, ὡς εὗρεν, ὡς ἀνείλετο.
ἔδωκε δ’ αὐτοῖς πηρίδιον γνωρισμάτων,
ἐξ οὗ μαθόντες πάντα τὰ καθ’ αὑτοὺς σαφῶς
ἐγένοντο βασιλεῖς οἱ τότ’ ὄντες αἰπόλοι.
εἰ δ’ ἐκλαβὼν ἐκεῖνα Δᾶος ἀπέδοτο,
αὐτὸς ἵνα κερδάνειε δραχμὰς δώδεκα,
ἀγνῶτες ἂν τὸν πάντα διετέλουν χρόνον
οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῶι γένει.
οὐ δὴ καλῶς ἔχει τὸ μὲν σῶμ’ ἐκτρέφειν
ἐμὲ τοῦτο, τὴν [δὲ] τοῦδε τῆς σωτηρίας
ἐλπίδα λαβόντα Δᾶον ἀφανίσαι, πάτερ.
γαμῶν ἀδελφήν τις διὰ γνωρίσματα
ἐπέσχε, μητέρ’ ἐντυχὼν ἐρρύσατο,
ἔσωσ’ ἀδελφόν. ὄντ’ ἐπισφαλῆ φύσει
τὸν βίον ἁπάντων τῆι προνοίαι δεῖ, πάτερ,
τηρεῖν, πρὸ πολλοῦ ταῦθ’ ὁρῶντ’ ἐξ ὧν ἔνι.
ἀλλ’ “ἀπόδος, εἰ μή” φησ’ “ἀρέσκει.” τοῦτο γὰρ
ἰσχυρὸν οἴεταί τι πρὸς τὸ πρᾶγμ’ ἔχειν.
οὐκ ἔστι δίκαιον· εἴ τι τῶν τούτου σε δεῖ
ἀποδιδόναι, καὶ τοῦτο πρὸς ζητεῖς λαβεῖν, ἵν’ ἀσφαλέστερον πονηρεύσηι πάλιν,
εἰ νῦν τι τῶν τούτου σέσωκεν ἡ Τύχη;
εἴρηκα. κρῖνον ὅ τι δίκαιον νενόμικας.
(Σμ) ἀλλ’ εὔκριτ’ ἐστί· πάντα τὰ συνεκκείμενα
τοῦ παιδίου ’στί. τοῦτο γινώσκω.
(Δα) καλῶς·
τὸ παιδίον δέ;
(Σμ) οὐ γνώσομ’ εἶναι μὰ Δία σοῦ
τοῦ νῦν ἀδικοῦντος, τοῦ βοηθοῦντος δὲ καὶ
ἐπεξιόντος τἀδικεῖν μέλλοντί σοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Συ) πόλλ’ ἀγαθά σοι γένοιτο.
358.1 (Δα) δεινή γ’ ἡ [κρίσις
358.2 νὴ τὸν Δία τὸν Σωτῆρ’· ἅπανθ’ εὑρὼν [ἐγὼ
360.1 ἅπαντα περιέσπασμ’. ὁ δ’ οὐχ εὑρὼν ἔχει.
360.2 οὐκοῦν ἀποδιδῶ;
361 (Σμ) φημί.
361.1 (Δα) δεινή γ’ ἡ κρίσις,
361.2 ἤ μηθὲν ἀγαθόν μοι γένοιτο.
362.1 (Συ) φέρε τ[αχύ.
362.2 (Δα) ὦ Ἡράκλεις, ἃ πέπονθα.
363 (Συ) τὴν πήραν χάλα καὶ δεῖξον· ἐν ταύτηι περιφέρεις γάρ. βραχὺ
365 πρόσμεινον, ἱκετεύω ς’, ἵν’ ἀποδῶι.
365.1 (Δα) τί γὰρ ἐγὼ
365.2 ἐπέτρεψα τούτωι;
366.1 (Σμ) δός ποτ’, ἐργαστήριον.
366.2 〈Δα〉 αἰσχρά γ’ ἃ πέπονθα.
367 (Σμ) πάντ’ ἔχεις;
367.1 (Συ) οἶμαί γε δή,
367.2 εἰ μή τι καταπέπωκε τὴν δίκην ἐμοῦ
367.3 λέγοντος, ὡς ἡλίσκετο.
369 (Δα) οὐκ ἂν ὠιόμην.
370.1 (Συ) ἀλλ’ εὐτύχει, βέλτιστε. τοιούτους ἔδει
370.2 θᾶττον δικάζειν πάντας.
371.1 (Δα) [ἀδί]κ[ου πράγμ]ατος.
371.2 ὦ Ἡράκλεις, οὐ γέγονε δεινοτέρα κρίσις.
371.3 Συ πονηρὸς ἦσθας.
373.1 〈Δα〉 ὦ πόνηρ’, [ὅπως σὺ] νῦν
373.2 τούτωι φυλάξεις αὐτ[α ]η
375.1 εὖ ἴσθι, τηρήσω σε πάντα τὸν χρόνον.
375.2 (Συ) οἴμωζε καὶ βάδιζε. σὺ δὲ ταυτί, γύναι,
375.3 λαβοῦσα πρὸς τὸν τρόφιμον ἐνθάδ’ εἴσφερε
375.4 Χαιρέστρατον. νῦν γὰρ μενοῦμεν ἐνθάδε,
375.5 εἰς αὔριον δ’ ἐπ’ ἔργον ἐξορμήσομεν
380.1 τὴν ἀποφορὰν ἀποδόντες. ἀλλὰ ταῦτά μοι
380.2 πρῶτ’ ἀπαρίθμησαι καθ’ ἕν. ἔχεις κοιτίδα τινά;
380.3 βάλλ’ εἰς τὸ προκόλπιον.
382.1 (Ον) μάγειρον βραδύτερον
382.2 οὐδεὶς ἑόρακε· τηνικαῦτ’ ἐχθὲς πάλαι
382.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔπινον.

384 (Συ) οὑτοσὶ μὲν εἶναι φαίνεται

385.1 ἀλεκτρυών τις καὶ μάλα στριφνός· λαβέ.

385.2 τουτὶ δὲ διάλιθόν τι. πέλεκυς οὑτοσί.

385.3 Ον τί ταῦτα;

387.1 (Συ) ὑπόχρυσος δακτύλιός τις οὑτοσί,

387.2 αὐτὸς σιδηροῦς· γλύμμα ταῦρος ἢ τράγος·

387.3 οὐκ ἂν διαγνοίην· Κλεόστρατος δέ τις

390.1 ἐστὶν ὁ ποήσας, ὡς λέγει τὰ γράμματα.

390.2 (Ον) ἐπί]δειξον.

391 (Συ) ἤν. σὺ δ’ εἶ τίς;

391 (Ον) οὗτός ἐστι.

391.1 (Συ) τίς;

391.2 (Ον) ὁ δακτύλιος.

392.1 (Συ) ὁ ποῖος; οὐ γὰρ μανθάνω.

392.2 (Ον) τοῦ δεσπότου τοὐμοῦ Χαρισίου.

393.1 (Συ) χολᾷις.

393.2 (Ον) ὃν ἀ]πώλεσεν.

394 (Συ) τὸν δακτύλιον θές, ἄθλιε.

395.1 (Ον) τὸν ἡμ]έτερόν σοι θῶ; πόθεν δ’ αὐτὸν λαβὼν

395.2 ἔχεις;]

396.1 (Συ) Ἄπολλον καὶ θεοί, δεινοῦ κακοῦ.

396.2 οἷον ἀ]π[ο]σῶσαι χρήματ’ ἐστὶν ὀρφανοῦ

396.3 παιδός. ὁ προσελθὼν εὐθὺς ἁρπάζειν βλέπει.

396.4 τὸν δακτύλιον θές, φημί.

399.1 (Ον) προσπαίζεις ἐμοί; τοῦ δεσπότου ’στι, νὴ τὸν Ἀπόλλω καὶ θεούς.

399.2 (Συ) ἀποσφαγείην πρότερον ἂν δήπουθεν ἢ

399.3 τούτωι τι καθυφείμην. ἄραρε, δικάσομαι

399.4 ἅπασι καθ’ ἕνα. παιδίου ’στιν, οὐκ ἐμά. —

399.5 στρεπτόν τι τουτί· λαβὲ σύ. πορφυρᾶ πτέρυξ.

405 εἴσω δὲ πάραγε. —σὺ δὲ τί μοι λέγεις;

405.1 (Ον) ἐγώ;

405.2 Χαρισίου ’στιν οὑτοσί· τοῦτόν ποτε

405.3 μεθύω[ν ἀπώλ]ες’, ὡς ἔφη.

407.1 (Συ) Χαιρεστράτου

407.2 εἴμ’ οἰκέτης. ἢ σῶιζε τοῦτον ἀσφαλῶς,

407.3 ἤ μοι δ[ός, ἵν’ ἐγ]ώ [σοι] παρέχω σῶν.

409 (Ον) βούλομαι

410

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸς [φυλάττειν.]
(Συ) οὐδὲ ἕν μοι διαφέρει·
εἰς ταὐτὸ γὰρ παράγομεν, ὡς ἐμοὶ δοκεῖ,
δεῦρ’ ἀμφότεροι.
(Ον) νυνὶ μὲν οὖν συνάγουσι καὶ
οὐκ ἔστιν εὔκαιρον τὸ μηνύειν ἴσως
αὐτῶι περὶ τούτων, αὔριον δέ.
(Συ) καταμενῶ,
αὔριον ὅτωι βούλεσθ’ ἐπιτρέπειν ἑνὶ λόγωι
ἕτοιμος. οὐδὲ νῦν κακῶς ἀπήλλαχα.
πάντων δ’ ἀμελήσανθ’, ὡς ἔοικε, δεῖ δίκας
μελετᾶν· διὰ τουτὶ πάντα νυνὶ σώιζεται.
ΧΟΡΟΥ
Ον τὸν δακτύλιον ὥρμηκα πλεῖν ἢ πεντάκις
τῶι δεσπότηι δεῖξαι προσελθών, καὶ σφόδρα
ὢν ἐγγὺς ἤδη καὶ πρὸς αὐτῶι παντελῶς
ἀναδύομαι. καὶ τῶν πρότερόν μοι μεταμέλει
μηνυμάτων· λέγει γὰρ ἐπιεικῶς πυκνά
“ὡς τὸν φράσαντα ταῦτά μοι κακὸν κακῶς
ὁ Ζεὺς ἀπολέσαι.” μή με δὴ διαλλαγεὶς
πρὸς τὴν γυναῖκα τὸν φράσαντα ταῦτα καὶ
συνειδότ’ ἀφανίσηι λαβών. καλῶς [ποῶν
ἕτερόν τι πρὸς τούτοις κυκᾶν [ἀπεσχόμην. κἀνταῦθα κακὸν ἔνεστιν ἐπιεικῶς [μέγα.
Ἀβρ ἐᾶτέ μ’ ἱκετεύω σε καὶ μή μοι κακὰ
παρέχετ’. ἐμαυτήν, ὡς ἔοικεν, ἀθλία
λέληθα χλευάζους’· ἐρᾶσθ[αι προσεδόκων,
θεῖον δὲ μισεῖ μῖσος ἄνθρωπός με τι.
οὐκέτι μ’ ἐᾶι γὰρ οὐδὲ κατακεῖσθαι, τάλαν,
παρ’ αὑτόν, ἀλλὰ χωρίς.
(Ον) ἀλλ’ ἀποδῶ πάλιν
παρ’ οὗ παρέλαβον ἀρτίως; ἄτοπον.
Ἀβρ τάλας
οὗτος. τί τοσοῦτον ἀργύριον ἀπολλύει;
ἐπεὶ τό γ’ ἐπὶ τούτωι τὸ τῆς θεοῦ φέρειν
κανοῦν ἔμοιγ’ οἷόν τε νῦν ἐστ’, ὦ τάλαν·
ἁγνὴ γάμων γάρ, φασίν, ἡμ[έ]ρα[ν τρίτ]ην
ἤδη κάθημαι.
(Ον) πῶς ἂν οὖν, πρὸς τῶν θεῶν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πῶς ἄν, ἱκετεύω—
(Συ) ποῦ ’στ[ιν, ὃν ζη]τῶν ἐγὼ
περιέρχομ’ ἔνδον; οὗτος [ἀπόδος], ὦγαθέ,
τὸν δακτύλιον, ἢ δεῖξον ὧι μέλλεις ποτέ.
κρινώμεθ’· ἐλθεῖν δεῖ μέ ποι.
(Ον) τοιουτονί
ἐστιν τὸ πρᾶγμ’, ἄνθρωπε· τοῦ μὲν δεσπότου
ἔστ’, οἶδ’ ἀκριβῶς, οὑτοσὶ Χαρισίου,
ὀκνῶ δὲ δεῖξαι· πατέρα γὰρ τοῦ παιδίου
αὐτὸν ποῶ σχεδόν τι τοῦτον προσφέρων μεθ’ οὗ συνεξέκειτο. (Συ) πῶς, ἀβέλτερε;
(Ον) Ταυροπολίοις ἀπώλεσεν τοῦτόν ποτε
παννυχίδος οὔσης καὶ γυναικῶν. κατὰ λόγον
ἐστὶν βιασμὸν τοῦτον εἶναι παρθένου· ἣ δ’ ἔτεκε τοῦτο κἀξέθηκε δηλαδή.
εἰ μέν τις οὖν εὑρὼν ἐκείνην προσφέροι
τοῦτον, σαφὲς ἄν τι δεικνύοι τεκμήριον·
νυνὶ δ’ ὑπόνοιαν καὶ ταραχὴν ἔχει.
(Συ) σκόπει
αὐτὸς περὶ τούτων. εἰ δ’ ἀνασείεις, ἀπολαβεῖν
τὸν δακτύλιόν με βουλόμενος δοῦναί τε σοι
μικρόν τι, ληρεῖς. οὐκ ἔνεστιν οὐδὲ εἷς
παρ’ ἐμοὶ μερισμός.
(Ον) οὐδὲ δέομαι.
Συ ταῦτα δή.
ἥξω διαδραμών—εἰς πόλιν γὰρ ἔρχομαι
νυνί—περὶ τούτων εἰσόμενος τί δεῖ ποεῖν.
(Ἁβρ) τὸ παιδάριον, ὃ νῦν τιθηνεῖθ’ ἡ γυνή,
’Ονήσιμ’, ἔνδον, οὗτος εὗρεν ἁνθρακεύς;
(Ον) ναί,] φησίν.
(Ἁβρ) ὡς κομψόν, τάλαν.
(Ον) καὶ τουτονὶ
τὸν δακτύλιον ἐπόντα τοὐμοῦ δεσπότου.
(Ἁβρ) αἴ, δύσμορ’· εἶτ’ εἰ τρόφιμος ὄντως ἐστί σου,
τρεφόμενον ὄψει τοῦτον ἐν δούλου μέρει,
κοὐκ ἂν δικαίως ἀποθάνοις;
(Ον) ὅπερ λέγω,
τὴν μητέρ’ οὐδεὶς οἶδεν.
(Ἁβρ) ἀπέβαλεν δέ, φήις,
Ταυροπολίοις αὐτόν;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Ον) παροινῶν γ’, ὡς ἐμοὶ
τὸ παιδάριον εἶφ’ ἁκόλουθος.
Ἁβρ δηλαδὴ
εἰς τὰς γυναῖκας παννυχιζούσας μόνας
ἐνέ[πεσε· κἀμο]ῦ γὰρ παρούσης ἐγένετο
τοιοῦτον ἕτερον.
(Ον) σοῦ παρούσης;
(Ἁβρ) πέρυσι, ναί,
Ταυροπολίοις· παισὶν γὰρ ἔψαλλον κόραις,
αὕτη θ’ [ὁμοῦ συ]νέπαιζεν. οὐδ’ ἐγὼ τότε,
οὔπω γάρ, ἄνδρ’ ᾔδειν τί ἐστι.
〈Ον〉 καὶ μάλα.
〈Ἁβρ〉 μὰ τὴν Ἀφροδίτην.
(Ον) τὴν δὲ παῖδ〈ά γ’〉 ἥτις ἦν
οἶσθας;
(Ἁβρ) πυθοίμην ἄν· παρ’ αἷς γὰρ ἦν ἐγὼ
γυναιξί, τούτων ἦν φίλη.
(Ον) πατρὸς τίνος
ἤκουσας;
(Ἁβρ) οὐδὲν οἶδα· πλὴν ἰδοῦσά γε
γνοίην ἂν αὐτήν. εὐπρεπής τις, ὦ θεοί·
καὶ πλουσίαν ἔφασάν τινα.
Ον αὕτη ’στιν τυχόν.
(Ἁβρ) οὐκ οἶδ’· ἐπλανήθη γὰρ μεθ’ ἡμῶν οὗς’ ἐκεῖ,
εἶτ’ ἐξαπίνης κλάουσα προστρέχει μόνη,
τίλλους’ ἑαυτῆς τὰς τρίχας, καλὸν πάνυ
καὶ λεπτόν, ὦ θεοί, ταραντῖνον σφόδρα
ἀπολωλεκυῖ’· ὅλον γὰρ ἐγεγόνει ῥάκος.
(Ον) καὶ τοῦτον εἶχεν;
(Ἁβρ) εἶχ’ ἴσως, ἀλλ’ οὐκ ἐμοὶ
ἔδειξεν· οὐ γὰρ ψεύσομαι.
(Ον) τί χρὴ ποεῖν
ἐμὲ νῦν;
(Ἁβρ) ὅρα σὺ τοῦτ’· ἐὰν δὲ νοῦν ἔχηις
ἐμοί τε πείθηι, τοῦτο πρὸς τὸν δεσπότην
φανερὸν ποήσεις· εἰ γάρ ἐστ’ ἐλευθέρας παιδός, τί τοῦτον λανθάνειν δεῖ τὸ γεγονός;
(Ον) πρότερον ἐκείνην ἥτις ἐστίν, Ἁβρότονον,
εὕρωμεν. ἐπὶ τούτωι δ’ ἐμοὶ νῦν συ[γγενοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Ἀβρ) οὐκ ἂν δυναίμην, τὸν ἀδικοῦντα πρὶν [σαφῶς τίς ἐστιν εἰδέναι. φοβοῦμαι τοῦτ’ ἐγώ,
μάτην τι μηνύειν πρὸς ἐκείνας ἃς λέγω.
τίς οἶδεν εἰ καὶ τοῦτον ἐνέχυρον λαβὼν
τότε τις παρ’ αὐτοῦ τῶν παρόντων ἀπέβαλεν
ἕτερος; κυβεύων τυχὸν ἴσως εἰς συμβολὰς
ὑπόθημ’ ἔδωκ’, ἢ συντιθέμενος περί τινος
περιείχετ’, εἶτ’ ἔδωκεν· ἕτερα μυρία
ἐν τοῖς πότοις τοιαῦτα γίνεσθαι φιλεῖ.
πρὶν εἰδέναι δὲ τὸν ἀδικοῦντ’ οὐ βούλομαι
ζητεῖν ἐκείνην οὐδὲ μηνύειν ἐγὼ
τοιοῦτον οὐδέν.
Ον οὐ κακῶς μέντοι λέγεις.
τί οὖν ποήσηι τις;
Ἀβρ θέας’, Ὀνήσιμε,
ἂν συναρέσηι σοι τοὐμὸν ἐνθύμημ’ ἄρα.
ἐμὸν ποήσομαι τὸ πρᾶγμα τοῦτ’ ἐγώ,
τὸν δακτύλιον λαβοῦσά τ’ εἴσω τουτονὶ
εἴσειμι πρὸς ἐκεῖνον.
(Ον) λέγ’ ὃ λέγεις· ἄρτι γὰρ
νοῶ.
(Ἀβρ) κατιδών μ’ ἔχουσαν ἀνακρινεῖ πόθεν
εἴληφα. φήσω “Ταυροπολίοις παρθένος
ἔτ’ οὖσα”, τά τ’ ἐκείνηι γενόμενα πάντ’ ἐμὰ
ποουμένη· τὰ πλεῖστα δ’ αὐτῶν οἶδ’ ἐγώ.
(Ον) ἄριστά γ’ ἀνθρώπων.
(Ἀβρ) ἐὰν οἰκεῖον ἦι
αὐτῶι τὸ πρᾶγμ〈α δ’〉, εὐθὺς ἥξει φερόμενος ἐπὶ τὸν ἔλεγχον καὶ μεθύων γε νῦν ἐρεῖ
πρότερος ἅπαντα καὶ προπετῶς· ἃ δ’ ἂν λέγηι
προσομολογήσω τοῦ διαμαρτεῖν μηδὲ ἓν
προτέρα λέγουσα.
(Ον) ὑπέρευγε νὴ τὸν Ἥλιον.
(Ἀβρ) τὰ κοινὰ ταυτὶ δ’ ἀκκιοῦμαι τῶι λόγωι
τοῦ μὴ διαμαρτεῖν· “ὡς ἀναιδὴς ἦσθα καὶ
ἰταμός τις”.
(Ον) εὖγε.
(Ἀβρ) “κατέβαλες δέ μ’ ὡς σφόδρα·
ἱμάτια δ’ οἵ’ ἀπώλεσ’ ἡ τάλαιν’ ἐγώ”
φήσω. πρὸ τούτου δ’ ἔνδον αὐτὸ βούλομαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαβοῦσα κλαῦσαι καὶ φιλῆσαι καὶ πόθεν
ἔλαβεν ἐρωτᾶν τὴν ἔχουσαν.
Ον Ἡράκλεις.
(Ἁβρ) τὸ πέρας δὲ πάντων, “παιδίον τοίνυν” ἐρῶ
“ἐστ]ὶ γεγονός σοι”, καὶ τὸ νῦν εὑρημένον
δείξω.
(Ον) πανούργως καὶ κακοήθως, Ἁβρότονον.
(Ἁβρ) ἂν δ’ ἐξετασθῆι ταῦτα καὶ φανῆι πατὴρ
ὢν οὗτος αὐτοῦ, τὴν κόρην ζητήσομεν
κατὰ σχολήν.
(Ον) ἐκεῖνο δ’ οὐ λέγεις, ὅτι
ἐλευθέρα γίνηι σύ· τοῦ γὰρ παιδίου
μητέρα σε νομίσας λύσετ’ εὐθὺς δηλαδή.
(Ἁβρ) οὐκ οἶδα· βουλοίμην δ’ ἄν.
(Ον) οὐ γὰρ οἶσθα σύ;
ἀλλ’ [ἦ] χάρις τις, Ἁβρότονον, τούτων ἐμοί;
(Ἁβρ) νὴ τὼ θεώ, πάντων γ’ ἐμαυτῆι ς’ αἴτιον
ἡγήσομαι τούτων.
(Ον) ἐὰν δὲ μηκέτι
ζητῆις ἐκείνην ἐξεπίτηδες, ἀλλ’ ἐᾶις παρακρουσαμένη με, πῶς τὸ τοιοῦθ’ ἕξει;
(Ἁβρ) τάλαν,
τίνος ἕνεκεν; παίδων ἐπιθυμεῖν σοι δοκῶ;
ἐλευθέρα μόνον γενοίμην, ὦ θεοί.
τοῦτον λάβοιμι μισθὸν ἐκ τούτων.
Ον λάβοις. (Ἁβρ) οὐκοῦν συναρέσκει σοι; (Ον) συναρέσκει διαφόρως·
ἂν γὰρ κακοηθεύσηι, μαχοῦμαί σοι τότε·
δυνήσομαι γάρ. ἐν δὲ τῶι παρόντι νῦν
ἴδωμεν εἰ τοῦτ’ ἐστίν.
(Ἁβρ) οὐκοῦν συνδοκεῖ;
(Ον) μάλιστα.
(Ἁβρ) τὸν δακτύλιον ἀποδίδου ταχύ.
(Ον) λάμβανε.
(Ἁβρ) φίλη Πειθοῖ, παροῦσα σύμμαχος
πόει κατορθοῦν τοὺς λόγους οὓς ἂν λέγω.
(Ον) τοπαστικὸν τὸ γύναιον. ὡς ἤισθηθ’ ὅτι
κατὰ τὸν ἔρωτ’ οὐκ ἔστ’ ἐλευθερίας τυχεῖν
ἄλλως δ’ ἀλύει, τὴν ἑτέραν πορεύεται
ὁδόν. ἀλλ’ ἐγὼ τὸν πάντα δουλεύσω χρόνον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέμφος, ἀπόπληκτος, οὐδαμῶς προνοητικὸς
τὰ τοιαῦτα. παρὰ ταύτης δ’ ἴσως τι λήψομαι,
ἂν ἐπιτύχηι· καὶ γὰρ δίκαιον. ὡς κενὰ
καὶ διαλογίζομ’ ὁ κακοδαίμων, προσδοκῶν
χάριν κομιεῖσθαι παρὰ γυναικός· μὴ μόνον
κακόν τι προσλάβοιμι. νῦν ἐπισφαλῆ
τὰ πράγματ’ ἐστὶ τὰ περὶ τὴν κεκτημένην·
ταχέως ἐὰν γὰρ εὑρεθῆι πατρὸς κόρη ἐλευθέρου μήτηρ τε τοῦ νῦν παιδίου
γεγονυῖ’, ἐκείνην λήψεται ταύτην[
[ ]ν ἀπολείπειν[
καὶ νῦν χαριέντως ἐκνενευκέναι δοκῶ
τῶι μὴ δι’ ἐμοῦ ταυτὶ κυκᾶσθαι. χαιρέτω
τὸ πολλὰ πράττειν· ἂν δέ τις λάβηι μέ τι
περιεργασάμενον ἢ λαλήσαντ’ ἐκτεμεῖν
δίδωμ’ ἐμαυτοῦ τοὺς ὀδόντας· —οὑτοσὶ
τίς ἐσθ’ ὁ προσιών; Σμικρίνης ἀναστρέφει
ἐξ ἄστεως πάλιν ταρακτικῶς ἔχων
αὖτις· πέπυσται τὰς ἀλ[ηθείας ἴσ]ως
παρά τινος οὗτος. ἐκπ[οδὼν δὲ β]ούλομαι
ποιεῖν ἐ[μαυτόν ]λα.ειν·
προ[]ν με δεῖ.
(Σμ) εξηι[
ἄσωτ[
ὅλη γὰ[ρ
εὐθὺσ[]δη
σαφῶσ[
πίνειν[]ιων
τοὔνομ[]ψαλτρίας
ζῆν αὐτὸ[ν]ης ἔφη
πλέον ἡμ[ερῶν
αυτὸν διαλλ[]ενον.
οἴμοι τάλ[ας].η
κοινωνὸ[]λη
προσῆλθ[]εγω
ὅτε τὴν[]υ τοῦτο γε
πυνθαν[ομενο ]τησέ με
φιλο[τ]ῶι τρόπωι
ἐναντ[ι]τα τὴν ἁπλοῦν []καὶ ψάλτριαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[]κύβοι τυχόν
[]λὰ χαιρέτω.
(?Καρ) []πολλῶν ἐγὼ
[]ων ἐκτησάμην
...
[]η μοι μόνη
...
...
οὐδεὶς σ[.......] ἕτερος ὑμῖν.
(Σμ) ποικίλον
ἄριστον ἀριστῶσιν.
(Καρ) ὢ τρισάθλιος
ἐγὼ κατὰ πολλά. νῦν μὲν οὖν οὐκ οἶδ’ ὅπως
δ[ια]σκεδάν[νυντ’] ἐκτός· ἀλλ’ ἐὰν πάλιν
π[ ] μαγείρου [τι]ς τύχηι
[ β]αλεῖτ’ ἐς μακαρίαν.
Σμ []ις τινος
(v uersuum paucae litterae supersunt)
Σμ Χα[ ψαλ]τρίας
Καρ νῦ[ν ]ωσι καὶ
με[
(Σμ) []ἆρα γε
[?Καρ] [ἔ]χουσι δή
(?Σμ) σ[
(?Καρ) [πέ]μπειν ἵνα
[ ]τὰ χρήματα
αι[ ]ν ἡλίκη
ει[ ]λομαι
εἶν[αι ]δέσποιν’ οἰκίας.
ὦ Ἡρ[άκλεις ] Σιμίας
ἀπίωμ[εν
[?Χαι] [ ]νὴ τὸν Ἥλιον
μικροῦ γ[ ]ταύτην ἐγώ.
πρώην αρ[ ] τὰς ὀφρῦς
ἐπάνωθ[εν
ἔγωγ’ ἀπολ[οίμην
ὀκνηρο[
Σμ ἔπειτα δ[

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θυγατέρα [
635.5 τέτοκε κ[
639 ‵—′
640.1 λαβόντ’ α[
640.2 παρακαλ[ες
640.3 διακονε[
642.1 ‵—′
642.2 [Σμ] Χαρ[
642.3 τὸ φ[
645.1 ὑμῶν ἑταῖρος οὗτος οὐδ’ ᾐσχύνετο
645.2 παιδάριον ἐκ πόρνης [
646 (uersuum v reliquiae minimae)
652.1 ο]υ βίου
652.2 το]ῦ δυστυχοῦς:
652.3 ]ν δυστυχῆ:
655.1 (Σμ) τοῦτο[ ]ν, ἀλλ’ ἴσως ἐγὼ
655.2 πολυπραγμ[ονῶ πλεί]ω τε πράττω τῶν ἐμῶν,
655.3 κατὰ λόγον ἐξὸν [ἀπιέν]αι τὴν θυγατέρα
655.4 λαβόντα. τοῦτο μὲν ποήσω καὶ σχεδὸν
655.5 δεδογμένον μ[οι τυγχ]άνει. μαρτύρομαι
660.1 ὑμᾶς δ’ ὁμο[
660.2 μεθ’ ὧν σ[
660.3 θυγατέρα [
660.4 ἀνάξι’· ὑ[
663.1 ‵—′
663.2 (?Χαι) μηδεσ[
665 καιπε[
665 (desunt uersus fere xiv)
680.1 [Σμ] μισεῖ τὸν ἡδὺν λεγόμενον τοῦτον βίον·
680.2 ἔπινε μετὰ τοῦ δεῖνος, εἶχεν ἑσπέρας
680.3 [ ]εν δ’ αὔριο[ν...] δεῖν’ ἔχει
682 (uersuum vii reliquiae minimae)
690 ἡμῖν κεκηδ[ευκ..
690.1 Χαι
690.2 (Σμ) ὑψηλὸς ὤν τις [οὗτος] οὐκ οἰμώξεται;
690.3 καταφθαρείς τ’ ἐν ματρυλείωι τὸν βίον
690.4 μετὰ τῆς καλῆς γυναικὸς ἣν ἐπεισάγει
690.5 βιώσεθ’, ἡμᾶς δ[’ οὐ]δὲ γινώσκειν δοκῶν
695.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ εἰ]σάξει λαβὼν
695.2 ] δηλαδή
695.3 ] ἐμοὶ δοκεῖ
695.4 ]ιν
695.5 ἐστί μοι
699 (desunt uersus fere xiv inter quos scribas
699 [ΧΟΡΟΥ]) [ΠΑΜΦΙΛΗ]
714 ἀλλ’ εἴ με σώιζων τοῦτο μὴ πείσαις ἐμέ,
715.1 οὐκέτι πατὴρ κρίνοι’ ἂν ἀλλὰ δεσπότης.
715.2 (Σμ) λόγου δὲ δεῖται ταῦτα καὶ συμπείσεως;
715.3 οὐκ ἐπ[ιπ]ό[λαιον; α]ὐ[τό, Π]αμφίλη, βοᾶι
715.4 φωνὴν ἀφιέν· εἰ δὲ κἀμὲ δεῖ λέγειν,
715.5 ἕτοιμός εἰμι, τρία δέ σοι προθήσομαι.
720.1 οὔτ’ ἂν ἔτι σωθείη ποθ’ οὗτος οὔτε σύ.
720.2 [.....]ν ἀμε[λ]ῶς ἡδέως, [σὺ] δ[’ οὐ] σφόδρα
720.3 [ ]κους’ ἐαθείης ἔτ’ ἄν
720.4 [ δια]κονω τούτων τι[
720.5 [ ]ν ἔχους’· ἅπαν[
724 (desunt uersus fere xxiv)
749.1 τὴν πολυτέλειαν. Θεσμοφόρια δὶς τίθει, Σκίρα δίς· τὸν ὄλεθρον τοῦ βίου καταμάνθανε.
749.2 οὔκουν ἀπόλωλεν οὗτος ὁμολογουμένως;
749.3 σκόπει τὸ σὸν δή· φησὶ δεῖν εἰς Πειραιᾶ
749.4 αὑτὸν βαδίσαι· καθεδεῖτ’ ἐκεῖς’ ἐλθ[ών·
749.5 του[τ...] ὀδυνήσει, περιμενεῖς παννʼ[
755.1 ἄδει[πν]ος· ὁ δὲ πίνει με[τ’ ἐκε]ίνης δη[λαδή
755.2 [..]. ευ[......]ς ἐξῆλθε[
755.3 [....]κ[..]ρευο[.] παντ[
755.4 [.........]σοι βούλο[μ
758 (desunt uersus fere xciv)
853.1 (Ἁβρ) ἔξειμ’ ἔχουσα· κλαυμυρίζεται, τάλαν,
853.2 πάλαι γάρ· οὐκ οἶδ’ ὅ τι κακὸν πέπονθέ μοι.
855.1 (Πα) τίς ἂν θεῶν τάλαιναν ἐλεήσειέ με;
855.2 Ἁβρ ὦ φίλτατον [τέκνον, πότ’] ὄψει μητέρα;
855.3 καὶ[]
857.1 (Πα) πορεύσομαι.
857.2 (Ἁβρ) μικρόν, γύναι, πρόσμεινον.
858 (Πα) ἐμὲ καλεῖς;
858.1 (Ἁβρ) ἐγώ.
858.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐναν]τίον [βλέ]πε.
859 [Πα] [ἦ μ]ε γινώσκεις, γύναι;
860.1 (Ἁβρ) αὐτή ’στιν [ἣν] ἑό[ρ]ακα· χαῖρε, φιλτάτη.
860.2 (Πα) τί[ς δ’ εἶ] σύ;
861.1 (Ἁβρ) χεῖρα δεῦρό μοι τὴν σὴν δίδου.
861.2 λέγε μοι, γλυκεῖα, πέρυσιν ἦ[λθες ἐπὶ θέαν
861.3 τοῖς Ταυροπολίοις ε[
861.4 (Πα) γύναι, πόθεν ἔχεις, εἰπέ μοι, τὸ παιδίον
865 λαβοῦσα;
865.1 (Ἁβρ) ὁρᾶις τι, φιλτάτη, σοι γνώριμον
865.2 ὧν] τοῦτ’ ἔχει; μηδέν με δείσηις, ὦ γύναι. (Πα) οὐκ ἔτεκες αὐτὴ τοῦτο;
867.1 (Ἁβρ) προσεποιησάμην,
867.2 οὐχ ἵν’ ἀδικήσω τὴν τεκοῦσαν, ἀλλ’ ἵνα
867.3 κατὰ σχολὴν εὕροιμι. νῦν δ’ εὕρηκα· σὲ
870 ὁρῶ γάρ, ἣν καὶ τότε.
870.1 (Πα) τίνος δ’ ἐστὶν πατρός;
870.2 (Ἁβρ) Χαρισίου.
871.1 (Πα) τοῦτ’ οἶσθ’ ἀκριβῶς, φιλτάτη;
871.2 (Ἁβρ) εὖ ο]ἶδ’ ἔ[γωγ’· ἀλλ’] οὐ σε τὴν νύμφην ὁρῶ
871.3 τὴν ἔνδον οὖσαν;
873 (Πα) ναιχί.
873.1 (Ἁβρ) μακαρία γύναι,
873.2 θεῶν τις ὑμᾶς ἠλέησε. τὴν θύραν
875.1 τῶν γειτόνων τις ἐψόφηκεν ἐξιών.
875.2 εἴσω λαβοῦσά μ’ ὡς σεαυτὴν εἴσαγε,
875.3 ἵνα καὶ τὰ λοιπὰ πάντα μου πύθηι σαφῶς.
875.4 Ον ὑπομαίνεθ’ οὗτος, νὴ τὸν Ἀπόλλω, μαίνεται·
875.5 μεμάνητ’ ἀληθῶς· μαίνεται νὴ τοὺς θεούς.
880.1 τὸν δεσπότην λέγω Χαρίσιον. χολὴ
880.2 μέλαινα προσπέπτωκεν ἢ τοιοῦτό [τι.
880.3 τί γὰρ ἄν τις εἰκάσειεν ἄλλο γεγονέναι;
880.4 πρὸς ταῖς θύραις γὰρ ἔνδον ἀρτί[ως πολὺν
880.5 χρόνον διακύπτων ἐνδ[ιέτριψ’
885.1 ὁ πατὴρ δὲ τῆς νύμφης τι περὶ [τοῦ πράγματος
885.2 ἐλάλει πρὸς ἐκείνην, ὡς ἔοιχ’, ὁ δ’ οἷα μὲν
885.3 ἤλλαττε χρώματ’, ἄνδρες, οὐδ’ εἰπεῖν καλόν.
885.4 “ὦ γλυκυτάτη” δὲ “τῶν λόγων οἵους λέγεις”
885.5 ἀνέκραγε, τὴν κεφαλήν τ’ ἀνεπάταξε σφόδρα
890.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῦ. πάλιν δὲ διαλιπών, “οἵαν λαβὼν
γυναῖχ’ ὁ μέλεος ἠτύχηκα.” τὸ δὲ πέρας, ὡς πάντα διακούσας ἀπῆλθ’ εἴσω ποτέ,
βρυχηθμὸς ἔνδον, τιλμός, ἔκστασις συχνή.
“ἐγὼ” γὰρ “ἁλιτήριος” πυκνὸν πάνυ
ἔλεγεν “τοιοῦτον ἔργον ἐξειργασμένος
αὐτὸς γεγονώς τε παιδίου νόθου πατὴρ
οὐκ ἔσχον οὐδ’ ἔδωκα συγγνώμης μέρος
οὐθὲν ἀτυχούσηι ταὔτ’ ἐκείνηι, βάρβαρος
ἀνηλεής τε.” λοιδορεῖτ’ ἐρρωμένως αὑτῶι βλέπει θ’ ὕφαιμον ἠρεθισμένος.
πέφρικ’ ἐγὼ μέν, αὖός εἰμι τῶι δέει.
οὕτως ἔχων γὰρ αὐτὸν ἂν ἴδηι μέ που
τὸν διαβαλόντα, τυχὸν ἀποκτείνειεν ἄν.
διόπερ ὑπεκδέδυκα δεῦρ’ ἔξω λάθραι.
καὶ ποῖ τράπωμαί γ’; εἰς τί βουλῆς; οἴχομαι.
ἀπόλωλα· τὴν θύραν πέπληχεν ἐξιών·
Ζεῦ σῶτερ, εἴπερ ἐστὶ δυνατόν, σῶιζέ με.
ΧΑΡΙΣΙΟΣ
ἐγώ τις ἀναμάρτητος, εἰς δόξαν βλέπων
καὶ τὸ καλὸν ὅ τι πότ’ ἐστι καὶ ταἰσχρὸν σκοπῶν,
ἀκέραιος, ἀνεπίπληκτος αὐτὸς τῶι βίωι—
εὖ μοι κέχρηται καὶ προσηκόντως πάνυ
τὸ δαιμόνιον—ἐνταῦθ’ ἔδειξ’ ἄνθρωπος ὤν.
“ὦ τρισκακόδαιμον, μεγάλα φυσᾶις καὶ λαλεῖς,
ἀκούσιον γυναικὸς ἀτύχημ’ οὐ φέρεις,
αὐτὸν δὲ δείξω ς’ εἰς ὅμοι’ ἐπταικότα,
καὶ χρήσετ’ αὐτή σοι τότ’ ἠπίως, σὺ δὲ
ταύτην ἀτιμάζεις· ἐπιδειχθήσει θ’ ἅμα
ἀτυχὴς γεγονὼς καὶ σκαιὸς ἀγνώμων τ’ ἀνήρ.”
ὅμοιά γ’ εἶπεν οἷς σὺ διενόου τότε
πρὸς τὸν πατέρα, κοινωνὸς ἥκειν τοῦ βίου
[ κ]οὐ δεῖν τἀτύχημ’ αὐτὴν φυγεῖν τὸ συμβεβηκός. σὺ δέ τις ὑψηλὸς σφόδρα
[]ν
[]βάρβαρος
[ ]υν ταύτηι σοφῶς
[ ]ε μέτεισι διὰ τέλους
[ ]ονων τις· ὁ δὲ πατὴρ
[ ]έστατ’ αὐτῆι χρήσεται. τί δέ μοι πατρός;
ἐρ]ῶ διαρρήδην “ἐμοὶ σύ, Σμικρίνη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ πάρεχε πράγματ᾽· οὐκ ἀπολείπει μ᾽ ἡ γυνή.
930.2 τί συνταράττεις καὶ βιάζηι Παμφίλην;
930.3 τ]ί ς᾽ αὖ βλέπω ᾽γώ;”
932.1 Ον πάνυ κακῶς ἔχω σφόδρα,
932.2 οἴμοι τάλας. καὶ σοῦ δέομαι τούτοις, [γύναι,
932.3 μή μ᾽ ἐγκαταλίπηις.
934 〈Χαρ〉 οὗτος ἐπακροώμενος
935 ἕστηκας ἱερόσυλέ μου;
935.1 [Ον] [μ]ὰ τοὺς θεούς,
935.2 ἀλλ᾽ ἀρτίως ἐξῆλθον.
936.1 [Χαρ] α[ ]λαθεῖν
936.2 ἔσται σε πρα..μια.......ησ[
936.3 πάντ᾽ ἐπακροάσει;
938.1 (Ον)
938.2 ἐγώ σε λανθάνειν πον[
940 βροντῶντα.
940.1 (Χαρ) δια.ε[
940.2 (Ἁβρ) ἀλλ᾽ οὐθὲν ὀφθήσε[ι
940.3 (Χαρ) τίς εἶ σ[ύ;
942.1 [Ἁβρ]
942.2 (Χαρ) οὐκ εισ[
942.3 (Ἁβρ) οὐκ ἦν ἐ[μὸν
945.1 (Χαρ) οὐκ ἦν σό[ν;
945.2 (?Ἁβρ) βούλει μ᾽ ἀπ[
945.3 (?Χαρ) ἀλλ᾽ ἐξαπει[
945.4 (?) ἔμ᾽ ἐπρ[
945.5 (?) ἔ[δ]εισ[ (Χαρ) τί φήις, ᾽Ον[ήσιμ᾽], ἐξεπειράθη[
945.6 (Ον) αὕ]τη μ᾽ [ἔπε]ισε, νὴ τὸν ᾽Απόλλω [
945.7 (Χαρ) καὶ σύ μ]ε περισπᾶις, ἱερόσυλε;
952.1 (Ἁβρ) μὴ μάχου,
952.2 γλυκύτ]ατε· τῆς γαμετῆς γυναικός ἐστί σου
952.3 τέκνον] γάρ, οὐκ ἀλλότριον.
954 (Χαρ) εἰ γὰρ ὤφελεν.
955 (Ἁβρ) νὴ τὴν φίλην Δήμητρα.
955.1 (Χαρ) τίνα λόγον λέγεις;
955.2 (Ἁβρ) τίνα; τὸν] ἀληθῆ.
956.1 (Χαρ) Παμφίλης τὸ παιδίον;
956.2 ἀλλ᾽ ἦν ἐμ]όν.
957

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Ἀβρ) καὶ σόν γ’ ὁμοίως.
957.1 (Χαρ) Παμφίλης;
957.2 Ἀβρότο]νον ἱκετεύω σε, μή μ’ ἀναπτεροῦ
958 (desunt uersus fere x)
969 [ ]αι γαρ[
970.1 (Ἀβρ) [ ]πῶς ἐγώ, τάλαν,
970.2 [ πρ]ὶν πάντ’ εἰδέναι
970.3 (Χαρ) [ ]ὀρθῶς λέγεις
970.4 []ο μοι:
970.5 []τερε
975.1 []ὅμως []το δή
975.2 []βούλομαι
975.3 []ματα.
978.1 [ΧΟΡΟΥ]
978.2 [?Χαι] []ειμενον
980.1 [ τα]ύτη[.] ἐπ[εὶ
980.2 [ ]ἐναντίον,
980.3 Χ[α]ι[ρέστρ]ατ’, ἤδη τὸ μετὰ ταῦτα σκεπτέον,
980.4 ὅπως διαμενεῖς ὢν Χαρισίωι [φίλος
980.5 οἷός ποτ’ ἦσθα πιστός. οὐ γάρ ἐσ[τί που
985.1 ἑταιρίδιον τοῦτ’ οὐδὲ τὸ τυχὸν[
985.2 σπουδῆι δὲ καὶ παιδάριον ἥδ’[
985.3 ἐλεύθερος. πάξ. μὴ βλέπεις τ[
985.4 καὶ πρῶτον αὐτὴν κατὰ μόνα[ς
985.5 τὸν φίλτατον καὶ τὸν γλυκύτατον[
989 (desunt uersus fere xiii)
1003.1 ].οτρ[
1003.2 ]καλ[
1005.1 εἰ τὸ καλὸν σ[
1005.2 ὥσπερ λύκ[ος
1005.3 ἀπελήλυ[θ
1007.1 ˋ—ˊ
1007.2 ἀποστ[
1008.1 ˋ—ˊ
1008.2 φιλο[
1009 ˋ—ˊ
1010 διαι[
1010.1 ˋ—ˊ
1010.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ κρι[
‵—′
καὶ ν[
ὅσα μ.[
ην μοι [
‵—′
ἔνδον πο.[
‵—′
ἔοικεν: οὐ[
‵—′
]οσπε[
(desunt uersus fere xix, tum extant uersuum xv litterae perpaucae, deinde desunt uersus non amplius ix; his lacunis frustula sequentia coniectura inserunt editores)
ἐπ’ αὐτὸ[ν
ὄντωσ[.]β[
‵—′
ἀλλ’ ἐξαπατ[
‵—′
Ον ἀπέσωσε συ.[
ἐγὼ δὲ προσ[
ς.αν
]τωμενου:
τὸ]ν Δία
]αυτοῦ τῶι σφόδρα
]ως ὁμολογῶ:
εἰ]ς ἐμὲ βλέπει
]αιε[
σώφρονα· τοιαυτησὶ γὰρ οὐκ ἀπέσχετ’ ἂν
ἐκεῖνος, εὖ τοῦτ’ οἶδ’· ἐγὼ δ’ ἀφέξομαι.
Σμ ἂν μὴ κατάξω τὴν κεφαλήν σου, Σωφρόνη,
κάκιστ’ ἀπολοίμην. νουθετήσεις καὶ σύ με;
προπετῶς ἀπάγω τὴν θυγατέρ’, ἱερόσυλε γραῦ;
ἀλλ’ ἢ περιμένω καταφαγεῖν τὴν προῖκά μου
τὸν χρηστὸν αὐτῆς ἄνδρα καὶ λόγους λέγω
περὶ τῶν ἐμαυτοῦ; ταῦτα συμπείθεις με σύ;
οὐκ ὀξυλαβῆσαι κρεῖττον; οἰμώξει μακρά,
ἂν ἔτι λαλῆις τι. κρίνομαι πρὸς Σωφρόνην;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετάπεισον αὐτήν, ὅταν ἴδηις. οὕτω τί μοι
ἀγαθὸν γένοιτο Σωφρόνη γάρ, οἴκαδε
ἀπιών—τὸ τέλμ’ εἶδες παριοῦς’; ἐνταῦθά σε
τὴν νύκτα βαπτίζων ὅλην ἀποκτενῶ,
κἀγώ σε ταὔτ’ ἐμοὶ φρονεῖν ἀναγκάσω
καὶ μὴ στασιάζειν. ἡ θύρα παιητέα·
κεκλειμένη γάρ ἐστι. παῖδες, παιδίον·
ἀνοιξάτω τις. παῖδες, οὐχ ὑμῖν λέγω;
Ον τίς ἐσθ’ ὁ κόπτων τὴν θύραν; ὤ, Σμικρίνης
ὁ χαλεπός, ἐπὶ τὴν προῖκα καὶ τὴν θυγατέρα
ἥκων.
(Σμ) ἔγωγε, τρισκατάρατε.
(Ον) καὶ μάλα ὀρθῶς· λογιστικοῦ γὰρ ἀνδρὸς καὶ σφόδρα
φρονοῦντος ἡ σπουδή, τό θ’ ἅρπασμ’, Ἡράκλεις,
θαυμαστὸν οἷον.
〈Σμ〉 πρὸς θεῶν καὶ δαιμόνων—
〈Ον〉 οἴει τοσαύτην τοὺς θεοὺς ἄγειν σχολὴν
ὥστε τὸ κακὸν καὶ τἀγαθὸν καθ’ ἡμέραν
νέμειν ἑκάστωι, Σμικρίνη;
(Σμ) λέγεις δὲ τί;
(Ον) σαφῶς διδάξω ς’. εἰσὶν αἱ πᾶσαι πόλεις,
ὅμοιον εἰπεῖν, χίλιαι· τρισμύριοι
οἰκοῦς’ ἑκάστην. καθ’ ἕνα τούτων οἱ θεοὶ
ἕκαστον ἐπιτρίβουσιν ἢ σώιζουσι;
(Σμ) πῶς;
λέγεις γὰρ ἐπίπονόν τιν’ αὐτοὺς ζῆν [βίον.
(Ον) οὐκ ἆρα φροντίζουσιν ἡμῶν οἱ θεοί,
φήσεις; ἑκάστωι τὸν τρόπον συν[ώικισαν
φρούραρχον· οὗτος ἔνδο[ν] ἐπ[
ἐπέτριψεν, ἂν αὐτῶι κακῶς χρη[σώμεθα,
ἕτερον δ’ ἔσωσεν. οὗτός ἐσθ’ ἡμῖν θεὸς
ὅ τ’ αἴτιος καὶ τοῦ καλῶς καὶ τοῦ κακῶς
πράττειν ἑκάστωι· τοῦτον ἱλάσκου ποῶν
μηδὲν ἄτοπον μηδ’ ἀμαθές, ἵνα πράττηις καλῶς. (Σμ) εἶθ’ οὑμός, ἱερόσυλε, νῦν τρόπος ποεῖ
ἀμαθές τι;
(Ον) συντρίβει σε.
(Σμ) τῆς παρρησίας.
(Ον) ἀλλ’ ἀπαγαγεῖν παρ’ ἀνδρὸς αὑτοῦ θυγατέρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγαθὸν σὺ κρίνεις, Σμικρίνη;
1103.1 (Σμ) λέγει δὲ τίς
1103.2 τοῦτ’ ἀγαθόν; ἀλλὰ νῦν ἀναγκαῖον.
1104 (Ον) θεᾶι;
1105.1 τὸ κακὸν ἀναγκαῖον λογίζεθ’ οὑτοσί.
1105.2 τοῦτόν τις ἄλλος, οὐχ ὁ τρόπος, ἀπολλύει;
1105.3 καὶ νῦν μὲν ὁρμῶντ’ ἐπὶ πονηρὸν πρᾶγμά σε
1105.4 ταὐτόματον ἀποσέσωκε, καὶ καταλαμβάνεις
1105.5 διαλλαγὰς λύσεις τ’ ἐκείνων τῶν κακῶν.
1110.1 αὖθις δ’ ὅπως μὴ λήψομαί σε, Σμικρίνη,
1110.2 προπετῆ λέγω σοι· νῦν δὲ τῶν ἐγκλημάτων
1110.3 ἀφεῖσο τούτων, τὸν δὲ θυγατριδοῦν λαβὼν
1110.4 ἔνδον πρόσειπε.
1113.1 (Σμ) θυγατριδοῦν, μαστιγία;
1113.2 (Ον) παχύδερμος ἦσθα καὶ σύ, νοῦν ἔχειν δοκῶν.
1115.1 οὕτως ἐτήρεις παῖδ’ ἐπίγαμον; τοιγαροῦν
1115.2 τέρασιν ὅμοια πεντάμηνα παιδία
1115.3 ἐκτρέφομεν.
1117 (Σμ) οὐκ οἶδ’ ὅ τι λέγεις.
1117.1 (Ον) ἡ γραῦς δέ γε
1117.2 οἶδ’, ὡς ἐγὦιμαι· τότε γὰρ οὑμὸς δεσπότης
1117.3 τοῖς Ταυροπολίοις, Σωφρόνη, ταύτην λαβὼν
1120.1 χορῶν ἀποσπασθεῖσαν—αἰσθάνει γε; νή,
1120.2 νυνὶ δ’ ἀναγνωρισμὸς αὐτοῖς γέγονε καὶ
1120.3 ἅπαντ’ ἀγαθά.
1122.1 (Σμ) τί φησιν, ἱερόσυλε γραῦ;
1122.2 (Ον) “ἡ φύσις ἐβούλεθ’, ἧι νόμων οὐδὲν μέλει·
1122.3 γυνὴ δ’ ἐπ’ αὐτῶι τῶιδ’ ἔφυ.” τί μῶρος εἶ;
1125.1 τραγικὴν ἐρῶ σοι ῥῆσιν ἐξ Αὔγης ὅλην
1125.2 ἂν μή ποτ’ αἴσθηι, Σμικρίνη.
1126.1 (Σμ) σύ μοι χολὴν
1126.2 κινεῖς παθαινομένη· σὺ γὰρ σφόδρ’ οἶσθ’ ὅ τι οὗτο]ς λέγει νῦν.
1128.1 (Ον) οἶδε· τ 〈οὗτ’〉 εὖ ἴσθ’ ὅτι
1128.2 ἡ γραῦ]ς προτέρα συνῆκε.
1129 (Σμ) πάνδεινον λέγεις.
1130 (Ον) οὐ γέγονεν] εὐτύχημα μεῖζον οὐδὲ ἕν. 〈Σμ〉 εἰ τοῦ]τ’ ἀληθές ἐσθ’ ὃ λέγεις, τὸ παιδίον

Eulogikon public reading copy · View original HTML at eulogikon.org